**Pausanias** IX, 40, 3-4 (statue of Aphrodite, Ariadne)

(3) <Δαιδάλου> δὲ τῶν ἔργων δύο μὲν ταῦτά ἐστιν ἐν Βοιωτοῖς, Ἡρακλῆς τε ἐν Θήβαις καὶ παρὰ Λεβαδεῦσιν ὁ Τροφώνιος, τοσαῦτα δὲ ἕτερα ξόανα ἐν Κρήτῃ, Βριτόμαρτις ἐν Ὀλοῦντι καὶ Ἀθηνᾶ παρὰ Κνωσσίοις· παρὰ τούτοις δὲ καὶ ὁ τῆς Ἀριάδνης χορός, οὗ καὶ Ὅμηρος ἐν Ἰλιάδι μνήμην ἐποιήσατο, ἐπειργασμένος ἐστὶν ἐπὶ λευκοῦ λίθου. καὶ Δηλίοις Ἀφροδίτης ἐστὶν οὐ μέγα ξόανον, λελυμασμένον τὴν δεξιὰν χεῖρα ὑπὸ τοῦ χρόνου· κάτεισι δὲ ἀντὶ ποδῶν ἐς τετράγωνον σχῆμα. (4) πείθομαι τοῦτο Ἀριάδνην λαβεῖν παρὰ Δαιδάλου, καὶ ἡνίκα ἠκολούθησε τῷ Θησεῖ, τὸ ἄγαλμα ἐπεκομίζετο οἴκοθεν· ἀφαιρεθέντα δὲ αὐτῆς τὸν Θησέα οὕτω φασὶν οἱ Δήλιοι τὸ ξόανον τῆς θεοῦ ἀναθεῖναι τῷ Ἀπόλλωνι τῷ Δηλίῳ, ἵνα μὴ οἴκαδε ἐπαγόμενος ἐς ἀνάμνησίν τε Ἀριάδνης ἐφέλκηται καὶ ἀεὶ νέας ἐπὶ τῷ ἔρωτι εὑρίσκηται τὰς συμφοράς.

**Pausanias** IX, 40, 3-4

Translation by W.H.S. Jones

(3) Of the works of Daedalus there are these two in Boeotia, a Heracles in Thebes and the Trophonius at Lebadeia. There are also two wooden images in Crete, a Britomartis at Olus and an Athena at Cnossus, at which latter place is also Ariadne's Dance, mentioned by Homer in the Iliad (18.590n.), carved in relief on white marble. At Delos, too, there is a small wooden image of Aphrodite, its right hand defaced by time, and with a square base instead of feet. (4) I am of opinion that Ariadne got this image from Daedalus, and when she followed Theseus, took it with her from home. Bereft of Ariadne, say the Delians, Theseus dedicated the wooden image of the goddess to the Delian Apollo, lest by taking it home he should be dragged into remembering Ariadne, and so find the grief for his love ever renewed.

**Pausaniás** IX , 40, 3-4

př. Helena Businská

(3) Z prací Daidalových jsou v Boiótii tato dvě díla: Héráklés v Thébách a Trofónios u Lebadejských. Ostatní podobná díla se nacházejí na Krétě a to Britomartis v Olúntě a Athéna u Knósských . Ti mají také takzvaný Tanec Ariadnin, o němž se zmínil Homéros v Íliadě (XVIII. 590) zhotovený z bílého mramoru. Délští zase mají nevelkou dřevěnou sochu Afrodíty s pravou rukou poškozenou stářím. Místo nohou končí tato socha do čtverhranu. (4) Věřím, že ji od Daidala převzala Ariadné, a když se ubírala na svou pouť s Théseem, odnesla ji z domova. Podle vyprávění Délských zasvětil Théseus – zbaviv se Ariadny – dřevěnou podobu bohyně délskému Apollónovi, aby mu po návratu domů nepřipomínala Ariadnu a aby mu nevzešly nové nehody v lásce.